Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ab anno CCCXLVII. ad annum CCCCI.

**Parisiis, 1644**

Canones Sanctorum centum quinquaginta patrum, qui Constantinopoli conuenerunt, Flauio Eucherio, & Flauio Euagrio viris clarissimis coss. VII. Idus Iulias.

urn:nbn:de:hbz:466:1-15256

Visual Library

ANNO CHRISTI 381.

## ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΚΑΤὸν πεντήκοντα ἁγίων πατέρων τῶν ἐν Κωνσταντινουπόλει συνελθόντων ἐν ὑπατείᾳ Φλαβίου Εὐχερίου, καὶ Φλαβίου Εὐαγρίου, τῶν λαμπροτάτων, πρὸ ἑπτὰ εἰδῶν Ἰουλίων.

## CANONES SANCTOrum centum quinquaginta patrum, qui Constantinopoli conuenerunt, Flauio Eucherio, & Flauio Euagrio viris clarissimis coss. VII. Idus Iulias.

Προσφωνητικὸς τῆς αὐτῆς ἁγίας συνόδου πρὸς τὸν εὐλαβέστατον βασιλέα Θεοδόσιον τὸν μέγαν· ᾧ *ὑπέταξε τοὺς παρ' αὐτῶν ἐκτεθέντας κανόνας.

* ὑπέταξαν

Eiusdem sancti Concilii ad piissimum imperatorem Theodosium magnum nuncupatoria: cui adiunxerunt a se statutos Canones.

Τῷ εὐσεβεστάτῳ καὶ θεοφιλεστάτῳ βασιλεῖ Θεοδοσίῳ ἡ ἁγία σύνοδος τῶν ἐπισκόπων τῶν ἐκ διαφόρων ἐπαρχιῶν συνελθόντων ἐν Κωνσταντινουπόλει.

*Religionis ac pietatis obseruantissimo, Deique amantissimo imperatori Theodosio, sanctum Concilium episcoporum, qui ex diuersis prouinciis Constantinopoli conuenerunt.*

ΑΡΧΗ μὲν ἡμῖν τοῦ πρὸς τὴν σὴν εὐσέβειαν γράμματος, εὐχαριστία πρὸς τὸν θεὸν τὸν ἀναδείξαντα τῆς ὑμετέρας εὐσεβείας τὴν βασιλείαν, ἐπὶ κοινῇ τῶν ἐκκλησιῶν εἰρήνῃ καὶ τῆς ὑγιοῦς πίστεως στηριγμῷ· ἀποδιδόντες δὲ τῷ θεῷ τὴν ὀφειλομένην εὐχαριστίαν, ἀναγκαίως καὶ τὰ γεγενημένα κατὰ τὴν ἁγίαν σύνοδον πρὸς τὴν σὴν εὐσέβειαν ἀναφέρομεν· καὶ ὅτι συνελθόντες εἰς τὴν Κωνσταντινούπολιν κατὰ τὸ γράμμα τῆς σῆς εὐσεβείας, πρῶτον μὲν ἀνενεωσάμεθα τὴν πρὸς ἀλλήλους ὁμόνοιαν· ἔπειτα δὲ καὶ συντόμους *ὅρους ἐξεφωνήσαμεν, τήν τε τῶν πατέρων πίστιν τῶν ἐν Νικαίᾳ κυρώσαντες, καὶ τὰς κατ' αὐτῆς ἐκφυείσας αἱρέσεις ἀναθεματίσαντες. πρὸς δὲ τούτοις, καὶ ὑπὲρ τῆς εὐταξίας τῶν ἐκκλησιῶν

* ἡμεῖς

INITIO quidem nostri ad tuam pietatem scripti, gratias agimus Deo, qui tuæ pietatis imperium constituit ad communem pacem ecclesiarum, & sanæ fidei confirmationem: agentes autem Deo debitas gratias, necessario quoque ea quæ acta sunt in sancto Concilio, ad tuam referimus pietatem; nempe quod ex quo tempore iuxta literas tuæ pietatis Constantinopoli conuenimus, primum quidem mutuam inter nos concordiam renouauimus: deinde vero breues etiam pronuntiauimus definitiones, quibus & patrum, qui Nicææ congregati fuerunt, fidem confirmauimus; &, quæ aduersus eam obortæ sunt, peruersas hæreses ac prauas opiniones extrema cum execratione ac detestatione reprobauimus. Præterea etiam ad recte constituendum & ordinandum statum & disciplinam eccle-

siarum, certos Canones statuimus: quæ omnia huic nostro scripto subiecimus. Rogamus igitur tuam clementiam, vt per literas quoque tuæ pietatis ratum habeatur Concilii decretum; vt sicuti literis, quibus nos conuocasti, ecclesiam honore prosecutus es, ita etiam finem eorum quæ decreta sunt, obsignes. Dominus autem imperium tuum in pace & iustitia stabiliat, & producat in multas ętates & generationes, atque ad terrenum imperium cælestis quoque regni gaudiũ & fructum adiiciat. Gratificetur Deus orbi terrarum, vt te, qui re vera pietatis studiosissimus, Deique amantissimus imperator es, valentem, omnibusque præclaris rebus florentem & excellentem videat: id quod sancti etiam ab illo precibus ac votis petunt & orant.

*Hæc decreuerunt ac statuerunt episcopi, qui gratia Dei ex diuersis prouinciis Constantinopoli conuenerunt, vocati a Theodosio piissimo imperatore.*

I.

NON spernendam esse fidem patrum trecentorum decem & octo, qui in Nicæa Bithyniæ conuenerunt; sed manere eam ratam oportet, & anathematizari omnem hæresim, specialiter autem Eunomianorũ, siue Anomœorum; & Arianorum, siue Eudoxianorum; & Semiarianorum, siue Pneumatomachorum, [id est, qui contra Spiritum sanctum pugnant,] & Sabellianorum, & * Macedonianorum, & Photinianorum, & Apollinaristarum.

* Marcellianorum,

ῥητοὺς κανόνας ὡρίσαμεν· ἅπερ ἅπαντα τῷδε ἡμῶν τῷ γράμματι * ὑπετάξαμεν. δεόμεθα τοίνυν τῆς σῆς ἡμερότητος, γράμματι τῆς σῆς εὐσεβείας ἐπικυρωθῆναι τῆς συνόδου τὴν ψῆφον· ἵν' ὥσπερ τοῖς τῆς κλήσεως γράμμασι τὴν ἐκκλησίαν τετίμηκας, οὕτω καὶ τῶν δοξάντων ἐπισφραγίσῃς τὸ τέλος. ὁ δὲ κύριος στηρίξῃ σου τὴν βασιλείαν ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ, καὶ παραπέμψῃ γενεαῖς γενεῶν, καὶ προσθείη τῷ ἐπιγείῳ κράτει καὶ τῆς βασιλείας τῆς ἐπουρανίου τὴν ἀπόλαυσιν. ἐρρωμένον σε, καὶ ἐν πᾶσι τοῖς καλοῖς διαπρέποντα ὁ θεὸς χαρίσαιτο τῇ οἰκουμένῃ, εὐχαῖς τῶν ἁγίων, τὸν ὡς ἀληθῶς εὐσεβέστατον καὶ θεοφιλέστατον βασιλέα.

Anno Christi 380.

Τάδε ὥρισαν οἱ ἐν Κωνσταντινουπόλει χάριτι θεοῦ συνελθόντες ἐπίσκοποι ἐκ διαφόρων ἐπαρχιῶν κατὰ κλῆσιν τοῦ εὐσεβεστάτου βασιλέως Θεοδοσίου.

α'.

ΜΗ ἀθετεῖσθαι τὴν πίστιν τῶν πατέρων τῶν τριακοσίων δεκαοκτὼ, τῶν ἐν Νικαίᾳ τῆς Βιθυνίας συνελθόντων· ἀλλὰ μένειν ἐκείνην κυρίαν, καὶ ἀναθεματισθῆναι πᾶσαν αἵρεσιν· καὶ ἰδικῶς τὴν τῶν Εὐνομιανῶν, εἴτουν Ἀνομοίων· καὶ τὴν τῶν Ἀρειανῶν, εἴτουν Εὐδοξιανῶν· καὶ τὴν τῶν * Ἡμιαρειανῶν, ἤγουν Πνευματομάχων· καὶ τὴν τῶν Σαβελλιανῶν, * Μαρκελλιανῶν, καὶ τὴν τῶν Φωτεινιανῶν, καὶ τὴν τῶν * Ἀπολλιναριστῶν.

ANNO CHRISTI 381.

β'.

Τοῖς ὑπὲρ διοίκησιν ἐπισκόποις, ταῖς ὑπερορίοις ἐκκλησίαις μὴ ἐπιέναι, μηδὲ συγχέειν τὰς ἐκκλησίας· ἀλλὰ κατὰ τοὺς κανόνας, τὸν μὲν Ἀλεξανδρείας ἐπίσκοπον τὰ ἐν Αἰγύπτῳ μόνον οἰκονομεῖν· τοὺς δὲ τῆς ἀνατολῆς ἐπισκόπους τὴν ἀνατολὴν μόνην διοικεῖν· φυλαττομένων τῶν ἐν τοῖς κανόσι τοῖς κατὰ Νίκαιαν πρεσβείων τῇ Ἀντιοχέων ἐκκλησίᾳ· καὶ τοὺς τῆς Ἀσιανῆς διοικήσεως ἐπισκόπους τὰ κατὰ τὴν * Ἀσίαν μόνην οἰκονομεῖν· καὶ τοὺς τῆς Ποντικῆς, τὰ τῆς Ποντικῆς μόνον· καὶ τοὺς τῆς Θρᾴκης, τὰ τῆς Θρᾳκικῆς μόνον οἰκονομεῖν.

* Ἀσιανὴν μόνην

Ἀκλήτους δὲ ἐπισκόπους ὑπὲρ διοίκησιν μὴ ἐπιβαίνειν ἐπὶ χειροτονίαις, ἤ τισιν ἄλλαις οἰκονομίαις ἐκκλησιαστικαῖς. Φυλαττομένου δὲ τοῦ προγεγραμμένου περὶ τῶν διοικήσεων κανόνος, εὔδηλον ὡς τὰ καθ' ἑκάστην ἐπαρχίαν ἡ τῆς ἐπαρχίας σύνοδος διοικήσει, κατὰ τὰ ἐν Νικαίᾳ ὡρισμένα.

Τὰς δὲ ἐν τοῖς βαρβαρικοῖς ἔθνεσι τοῦ θεοῦ ἐκκλησίας οἰκονομεῖσθαι χρὴ κατὰ τὴν κρατήσασαν * συνήθειαν παρὰ τῶν πατέρων.

* συνήθειαν τῶν πατέρων

II.

Episcopi, qui extra diœcesim 2.
sunt, ad ecclesias quæ extra terminos eorum sunt, non accedant, neq; confundant & permisceant ecclesias: sed secundum regulas constitutas, Alexandriæ quidem episcopus ea quæ sunt in Ægypto, tantum gubernet; orientis autem episcopi solius orientis curam gerant, seruatis honoribus primatus ecclesiæ Antiochenæ, qui in regulis Nicænæ Synodi continentur. Can. 6.
Sed & Asianæ diœcesis episcopi ea quæ sunt in Asia, & quæ ad Asianam tantummodo diœcesim pertinent, gubernent: Ponti autem episcopi Ponticæ tantũ diœcesis habeant curam: Thraciæ vero, ipsius tantummodo Thraciæ.

Non inuitati episcopi vltra 3.
diœcesim accedere non debent super ordinandis aliquibus, vel quibuscumque disponendis ecclesiasticis causis, seruata regula quæ supra scripta est de vnaquaque diœcesi. Manifestum namque est, quod per singulas quasque prouincias Synodus prouincialis administrare & gubernare omnia debeat, secundum ea quæ sunt in Nicæa definita. Can. 5.

Ecclesias autem Dei, quæ sunt 4.
in barbaricis gentibus constitutæ, regere atque administrare oportet secundum consuetudinem, quæ a patribus obtinuisse dignoscitur.

γ'.

Τὸν μέντοι Κωνσταντινουπόλεως ἐπίσκοπον ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην.

III.

Constantinopolitanę ciuitatis 5.
episcopum habere oportet primatus honorem post Romanum episcopum, propterea quod sit noua Roma.

δ'.

Περὶ Μαξίμου τοῦ Κυνικοῦ, καὶ τῆς κατ' αὐτὸν ἀταξίας τῆς ἐν

IV.

De Maximo Cynico philoso- 6.
pho, propter indisciplinationis e-

ius doctrinam, quæ Constantinopoli orta est, statutum est; vt neque Maximus fuisse aut esse etiam putetur episcopus, neque hi qui ab eo sunt ordinati, qualemcumque gradũ clericatus obtineant; omnibus scilicet, quæ circa eum vel ab eo gesta sunt, in irritum reuocatis.

V.

7. Hi tres postremi Canones adiecti sunt ex Balsamone.

De libello occidentalium: etiam eos suscipimus, qui Antiochiæ vnam Patris & Filii & Spiritus sancti deitatem confitentur.

VI.

8. Quoniam multi ecclesiasticũ ordinem confundere & subuertere volentes, inimice & sycophantice aduersus orthodoxos episcopos, qui ecclesias administrant, accusationes quasdam cõfingunt, nihil aliud quam sacerdotum bonam existimationem contaminare, & in pace degentium populorum tumultus concitare conantes: ea de causa placuit sanctæ Synodo episcoporũ qui Constantinopoli conuenerunt, nec sine discussione admittere accusatores, nec omnibus, eorũ qui ecclesias administrant, accusationes permittere, nec omnes excludere: sed si quis propriã quidem querelam, id est priuatam, intendat episcopo, vt detrimento aliquo, vel iniuria aliqua ab ipso affectus, in eiusmodi accusationibus nec accusatoris personam, nec religionem examinari. Oportet enim episcopi conscientiam esse omnibus modis liberam, & eum qui sibi iniuriam factam esse dicit, cuiuscumque sit religionis, ius suum consequi. Si autem sit crimen ecclesiasticum,

Κωνσταντινουπόλει γενομένης. ὥστε μήτε τὸν Μάξιμον ἐπίσκοπον ἢ γενέσθαι ἢ εἶναι, μήτε τοὺς παρ᾽ αὐτοῦ χειροτονηθέντας ἐν οἱῳδήποτε βαθμῷ κλήρου, πάντων καὶ τῶν περὶ αὐτὸν καὶ τῶν παρ᾽ αὐτοῦ γενομένων ἀκυρωθέντων. Anno Christi 381.

έ.

Περὶ τοῦ τόμου τῶν δυτικῶν· καὶ τοὺς ἐν Ἀντιοχείᾳ ἀπεδεξάμεθα τοὺς μίαν ὁμολογοῦντας πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος θεότητα.

ς'.

Ἐπειδὴ πολλοὶ τὴν ἐκκλησιαστικὴν εὐταξίαν συγχεῖν καὶ ἀνατρέπειν * βουλόμενοι, φιλέχθρως καὶ συκοφαντικῶς αἰτίας τινὰς κατὰ τῶν οἰκονομούντων τὰς ἐκκλησίας ὀρθοδόξων ἐπισκόπων συμπλάσσουσιν, οὐδὲν ἕτερον ἢ χραίνειν τὰς τῶν ἱερέων ὑπολήψεις, καὶ ταραχὰς τῶν εἰρηνευόντων λαῶν κατασκευάζειν ἐπιχειροῦντες· τούτου ἕνεκεν ἤρεσε τῇ ἁγίᾳ συνόδῳ τῶν ἐν Κωνσταντινουπόλει συνδραμόντων ἐπισκόπων, μὴ ἀνεξετάστως προσίεσθαι τοὺς κατηγόρους, μηδὲ πᾶσιν * ἐπιτρέπεσθαι τὰς κατηγορίας ποιεῖσθαι κατὰ τῶν οἰκονομούντων τὰς ἐκκλησίας, μηδὲ μὴν πάντας ἀποκλείειν· ἀλλ᾽ εἰ μέν τις οἰκείαν τινὰ μέμψιν, τουτ᾽ ἔστιν, ἰδιωτικὴν ἐπαγάγοι τῷ ἐπισκόπῳ, ὡς πλεονεκτηθεὶς, ἢ ἄλλο τι παρὰ τὸ δίκαιον παρ᾽ αὐτοῦ πεπονθώς· ἐπὶ τῶν τοιούτων κατηγοριῶν μὴ ἐξετάζεσθαι μήτε πρόσωπον τοῦ κατηγόρου, μήτε τὴν θρησκείαν. χρὴ γὰρ παντὶ τρόπῳ τό, τε συνειδὸς τοῦ ἐπισκόπου ἐλεύθερον εἶναι, καὶ τὸν ἀδικεῖσθαι λέγοντα, οἵας ἂν ᾖ θρησκείας, τῶν δικαίων τυγχάνειν. εἰ δὲ ἐκκλησιαστικὸν εἴη

ANNO CHRISTI 382.

τὸ ἐπιφερόμενον ἔγκλημα τῷ ἐπισκόπῳ, τότε δοκιμάζεσθαι χρὴ τῶν κατηγορούντων τὰ πρόσωπα· ἵνα πρῶτον μὲν αἱρετικοῖς μὴ ἐξῇ κατηγορίας κατὰ τῶν ὀρθοδόξων ἐπισκόπων, ὑπὲρ ἐκκλησιαστικῶν πραγμάτων ποιεῖσθαι. αἱρετικοὺς δὲ λέγομεν, τούς τε πάλαι τῆς ἐκκλησίας ἀποκηρυχθέντας, καὶ τοὺς μετὰ ταῦτα ὑφ' ἡμῶν ἀναθεματισθέντας· πρὸς δὲ τούτοις, καὶ τοὺς τὴν πίστιν μὲν τὴν ὑγιῆ προσποιουμένους ὁμολογεῖν, * ἀποσχίσαντας δὲ καὶ ἀντισυνάγοντας τοῖς κανονικοῖς ἡμῶν ἐπισκόποις. ἔπειτα δὲ καὶ εἴ τινες * τούτων ἀπὸ τῆς ἐκκλησίας ἐπὶ αἰτίαις τισὶ προκατεγνωσμένοι εἶεν καὶ ἀποβεβλημένοι, ἢ ἀκοινώνητοι, εἴτε ἀπὸ κλήρου, εἴτε ἀπὸ λαϊκοῦ τάγματος· μηδὲ τούτοις ἐξεῖναι κατηγορεῖν ἐπισκόπου, πρὶν ἂν τὸ οἰκεῖον ἔγκλημα πρότερον ἀποδύσωνται. ὁμοίως δὲ καὶ τοὺς ὑπὸ κατηγορίαν προλαβοῦσαν ὄντας, μὴ πρότερον εἶναι δεκτοὺς εἰς ἐπισκόπου κατηγορίαν, ἢ ἑτέρων κληρικῶν, πρὶν ἂν ἀθῴους ἑαυτοὺς τῶν ἐπαχθέντων αὐτοῖς ἀποδείξωσιν ἐγκλημάτων. εἰ μέν τοι τινὲς μήτε αἱρετικοί, μήτε ἀκοινώνητοι εἶεν, μήτε προκατεγνωσμένοι ἢ προκατηγορημένοι ἐπί τισι πλημμελήμασι, λέγοιεν δὲ ἔχειν τινὰ ἐκκλησιαστικὴν κατὰ τοῦ ἐπισκόπου κατηγορίαν· τούτους κελεύει ἡ ἁγία σύνοδος πρῶτον μὲν ἐπὶ τῶν τῆς ἐπαρχίας πάντων ἐπισκόπων ἐνίστασθαι τὰς κατηγορίας, καὶ ἐπ' αὐτῶν ἐλέγχειν τὰ ἐγκλήματα τοῦ ἐν αἰτίαις τισὶν ἐπισκόπου. εἰ δὲ συμβαίη ἀδυνατῆσαι τοὺς ἐπαρχιώτας πρὸς διόρθωσιν τῶν ἐπιφερομένων ἐγκλημάτων τῷ ἐπισκόπῳ, τότε αὐτοὺς προσιέναι μείζονι συνόδῳ τῶν τῆς διοικήσεως ἐπισκόπων ἐκείνης, ὑπὲρ τῆς

* ἀποσχισθέντας δὲ καὶ ἀντισυναγαγόντας

* ἴσ. τῶν

quod episcopo intenditur; tunc examinari personas accusatorũ: vt primum quidem hęreticis non liceat orthodoxos episcopos pro rebus ecclesiasticis accusare. Hæreticos autem dicimus & qui olim ab ecclesia abdicati sunt, & qui sunt postea a nobis anathematizati. adhæc autem & eos, qui se sanam quidem fidem confiteri prę se ferunt, auulsi autem sunt & abscissi, & aduersus canonicos nostros episcopos congregationem faciunt. Præterea autem & si aliqui eorum ab ecclesia ob aliquas causas prius condemnati, & eiecti vel excommunicati fuerint, siue ex clero, siue ex laicorum ordine, nec eis licere episcopum accusare, priusquam proprium crimen absterserint. Similiter autem & eos, qui prius rei facti accusatique sunt, non prius ad episcopi vel aliorum clericorum accusationẽ admitti, quam se obiectorum sibi criminum insontes ostenderint. Sed si nonnulli nec hæretici, nec excommunicati fuerint, nec prius damnati, vel aliquorum criminum accusati, dicant autem se habere aliquas aduersus episcopum criminationes; eos iubet sancta Synodus primum quidem apud prouinciæ episcopos accusationem persequi, & apud eos probare crimina episcopi, qui aliquarum rerum accusatur. Quod si euenerit, vt prouinciales episcopi crimina, quæ episcopo intentata sunt, corrigere nõ possint, tunc ipsos accedere ad maiorem Synodum diœcesis illius episcoporum, pro hac causa

UNIVERSITÄTS- BIBLIOTHEK PADERBORN

conuocatorum; & accuſationem non prius intendere, quam in ſcriptis æquale periculum ſibi ſtatuant, ſi quidem in rebus examinandis accuſatum epiſcopum calumniari conuicti fuerint. Si quis autem iis, quæ, vt prius declaratum eſt, decreta fuerunt, contemptis, auſus fuerit vel imperatoris aures moleſtia afficere, vel ſæcularium principum iudicia, vel vniuerſalem Synodum perturbare, neglectis diœceſis epiſcopis; eum nullo modo eſſe ad accuſationẽ admittendum, vt qui Canonibus iniuriam fecerit, & eccleſiaſticum ordinẽ euerterit.

αἰτίας ταύτης συγκαλουμένων· καὶ μὴ πρότερον ἐνίστασθαι τὴν κατηγορίαν, πρὶν ἢ ἐγγράφως αὐτοὺς τὸν ἴσον αὐτοῖς * ὑποτιμήσασθαι κίνδυνον, εἴπερ ἐν τῇ τῶν πραγμάτων * τάξει συκοφαντοῦντες τὸν κατηγορούμενον ἐπίσκοπον ἐλεγχθεῖεν. εἰ δέ τις καταφρονήσας τῶν κατὰ τὰ προδηλωθέντα δεδογμένων, τολμήσειεν ἢ βασιλικὰς ἐνοχλεῖν ἀκοὰς, ἢ κοσμικῶν ἀρχόντων δικαστήρια, ἢ οἰκουμενικὴν σύνοδον ταράσσειν, πάντας ἀτιμάσας τοὺς τῆς διοικήσεως ἐπισκόπους· τὸν τοιοῦτον τὸ παράπαν εἰς κατηγορίαν μὴ εἶναι δεκτὸν, ὡς καθυβρίσαντα τοὺς κανόνας, καὶ τὴν ἐκκλησιαστικὴν λυμηνάμενον εὐταξίαν.

VII.

9. Eos qui rectæ fidei adiiciuntur, & parti eorum qui ex hæreticis ſeruantur, recipimus, ſecundum ſubiectam hic conſequentiam & conſuetudinem. Arianos quidẽ, & Macedonianos, & Sabbatianos, & Nouatianos, qui dicunt ſeipſos Catharos & Ariſteros, [hoc eſt, mundos, vel ſiniſtros,] & Teſſaradecatitas, ſiue Tetraditas, & Apollinariſtas recipimus, dantes quidem libellos, & omnem hæreſim anathematizantes, quæ non ſentit vt ſancta Dei catholica & apoſtolica eccleſia; & ſignatos, ſiue vnctos primum ſancto chriſmate, & frontem, & oculos, & nares, & os, & aures. Et eos ſignantes dicimus, Signaculum doni Spiritus ſancti. Atqui Eunomianos, qui in vnam demerſionem baptizantur; & Montaniſtas, qui hic dicuntur Phryges, & Sabellianos, qui eumdem eſſe Patrem & Filium opinantur, vtrumque ſimul confundentes, & alia gra-

ζ.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ καὶ τῇ μερίδι τῶν σωζομένων ἀπὸ αἱρετικῶν, δεχόμεθα κατὰ τὴν ὑποτεταγμένην ἀκολουθίαν καὶ συνήθειαν. Ἀρειανοὺς μὲν καὶ Μακεδονιανοὺς, καὶ Σαββατιανοὺς, καὶ Ναυατιανοὺς, τοὺς λέγοντας ἑαυτοὺς καθαροὺς καὶ ἀριστεροὺς, καὶ τοὺς Τεσσαρεσκαιδεκατίτας, εἴτουν Τετραδίτας, καὶ Ἀπολλιναριστὰς δεχόμεθα διδόντας λιβέλλους, καὶ ἀναθεματίζοντας πᾶσαν αἵρεσιν, μὴ φρονοῦσαν ὡς φρονεῖ ἡ ἁγία τοῦ θεοῦ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία· καὶ σφραγιζομένους, ἤτοι χριομένους πρῶτον τῷ ἁγίῳ μύρῳ τό, τε μέτωπον, καὶ τοὺς ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας, καὶ τὸ στόμα, καὶ τὰ ὦτα. καὶ σφραγίζοντες αὐτοὺς λέγομεν· Σφραγὶς δωρεᾶς πνεύματος ἁγίου. Εὐνομιανοὺς μέντοι, τοὺς εἰς μίαν κατάδυσιν βαπτιζομένους, καὶ Μοντανιστὰς τοὺς ἐνταῦθα λεγομένους Φρύγας, καὶ Σαβελλιανοὺς τοὺς υἱοπατορίαν * διδάσκοντας, καὶ ἕτερά τινα χαλεπὰ

ANNO CHRISTI 381.

τὰ ποιοῦντας. καὶ τὰς ἄλλας πάσας αἱρέσεις, ἐπειδὴ πολλοί εἰσιν ἐνταῦθα, μάλιστα οἱ ἀπὸ τῆς Γαλατῶν χώρας * ἐρχόμενοι, πάντας τοὺς ἀπ᾽ αὐτῶν θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς ἕλληνας δεχόμεθα. καὶ τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς χριστιανούς, τὴν δὲ δευτέραν κατηχουμένους· εἶτα τὴν τρίτην ἐξορκίζομεν αὐτοὺς μετὰ τοῦ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα αὐτῶν· καὶ οὕτως κατηχοῦμεν αὐτούς, καὶ ποιοῦμεν αὐτοὺς χρονίζειν εἰς τὴν ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν γραφῶν· καὶ τότε αὐτοὺς βαπτίζομεν.

* ὁρμώμενοι

uia & indigna faciunt: & alias omnes hæreſes; quoniã hic multi ſunt hæretici, & maxime qui ex Galatarum regione veniunt; quicumque ex his rectæ fidei adſcribi volunt, vt Græcos admittimus: & primo quidem die ipſos Chriſtianos facimus; ſecundo catechumenos; deinde tertio exorcizamus ſiue adiuramus ipſos, ter ſimul in faciem eorum & aures inſufflando. Et ſic eos catechizamus ſiue initiamus, & curamus vt longo tempore verſentur in eccleſia, & audiant ſcripturas; & tunc eos baptizamus.

## ΤΟ ΕΚΤΕΘΕΝ ΠΑΡΑ τῆς αὐτῆς συνόδου τῆς ἐν Κωνσταντινουπόλει σύμβολον.

ΠΙΣΤΕΥΟΜΕΝ εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ πατρί, δι᾽ οὗ τὰ πάντα ἐγένετο. τὸν δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα· σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς· καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς, καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρός, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέ-

## SYMBOLVM EIVSDEM Concilii Conſtantinopolitani.

CREDIMVS in vnum Deum, Patrem omnipotentem, factorem cæli & terræ, viſibilium omnium & inuiſibilium conditorem. Et in vnum Dominum Ieſum Chriſtum, filium Dei vnigenitum, ex Patre natum ante omnia ſæcula, Deum ex Deo, lumen ex lumine, Deum verum ex Deo vero; natum, non factum, homouſion Patri, hoc eſt, eiuſdem cum Patre ſubſtantiæ; per quem omnia facta ſunt, quæ in cælo & quæ in terra. Qui propter nos homines, & propter noſtram ſalutem deſcendit de cælis: & incarnatus eſt ex Spiritu ſancto, ex Maria virgine, & homo factus eſt: Crucifixus etiam pro nobis ſub Pontio Pilato, paſſus ac ſepultus: & tertia die reſurrexit ſecundum Scripturas: aſcendit in cælos, ſedet ad dexteram Patris: inde venturus eſt cum gloria iudicare viuos & mortuos; cuius regñi non erit fi-